25 τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν,
ὁδὸν δὲ κυδοιμῶν
26 ※τοῦ ὑετίσαι ἐπὶ γῆν, οὗ οὐκ ἀνήρ,
※ἔρημον, οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ,
27 ※τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον
※καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης;↙
28 τίς ἐστιν ὑετοῦ πατήρ;
τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου;
29 ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος;
πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν,
30 ἣ καταβαίνει ὥσπερ ὕδωρ ῥέον;
πρόσωπον δὲ ἀβύσσου τίς ἔπηξεν;
31 συνῆκας δὲ δεσμὸν Πλειάδος
καὶ φραγμὸν Ὠρίωνος ἤνοιξας;
32 ※ἢ διανοίξεις μαζουρωθ ἐν καιρῷ αὐτοῦ
※καὶ Ἕσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτά;↙
33 ἐπίστασαι δὲ τροπὰς οὐρανοῦ
ἢ τὰ ὑπ᾿ οὐρανὸν ὁμοθυμαδὸν γινόμενα;
34 καλέσεις δὲ νέφος φωνῇ,
καὶ τρόμῳ ὕδατος λάβρῳ ὑπακούσεταί σου;
35 ἀποστελεῖς δὲ κεραυνοὺς καὶ πορεύσονται;
ἐροῦσιν δέ σοι Τί ἐστιν;
36 τίς δὲ ἔδωκεν γυναιξὶν ὑφάσματος σοφίαν
ἢ ποικιλτικὴν ἐπιστήμην;
37 τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ,
οὐρανὸν δὲ εἰς γῆν ἔκλινεν;
38 κέχυται δὲ ὥσπερ γῆ κονία,
κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον.
39 θηρεύσεις δὲ λέουσιν βοράν,
ψυχὰς δὲ δρακόντων ἐμπλήσεις;
40 δεδοίκασιν γὰρ ἐν κοίταις αὐτῶν,
κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες.
41 τίς δὲ ἡτοίμασεν κόρακι βοράν;
νεοσσοὶ γὰρ αὐτοῦ πρὸς κύριον κεκράγασιν
πλανώμενοι τὰ σῖτα ζητοῦντες.

26[1] γην] pr. την S, γης A† || 28[2] βωλους] pr. συνοχας και AV† || 29[1] ο > SA || 30[1] ωσπερ] ως AV† | 30[2] αβυσσου Complut. Gra.] ασεβους mss. | επηξεν Gra.] επτηξεν B, ετηξεν SA || 31[1] uerbo συνηκας ad praec. tracto praebent AV† δεσμον δε πλ(ε)ιαδος εγνως | 31[2] και] η AV† || 32[2] αξεις] pr. και AV† || 34[2] δρομω AV† | υδ. λαβρω B†] tr. S†, υδ. λαβρου rel. | επακουσ. S† || 36[1] δε > AV† | γυναικι AV† | 36[2] η] και AV† | επιστημην] pr. σοφιας AV† || 38[1] δε] γαρ AV† | γης AV† | κονια] χωνείᾳ Gra. | 38[2] κεκολληκεν A† | λιθω κυβον] κυβον λιθοις AV† || 41[2] γαρ] δε A | αυτου / προς κυριον] tr. A†